13 [13]Καὶ ἤνεγκαν τὰς στολὰς πρὸς Μωυσῆν καὶ τὴν σκηνὴν καὶ
τὰ σκεύη αὐτῆς καὶ τὰς βάσεις καὶ τοὺς μοχλοὺς αὐτῆς καὶ τοὺς
14 στύλους [14]καὶ τὴν κιβωτὸν τῆς διαθήκης καὶ τοὺς διωστῆρας αὐ-
15 τῆς [15]καὶ τὸ θυσιαστήριον καὶ πάντα τὰ σκεύη αὐτοῦ καὶ τὸ ἔλαι-
16 ον τῆς χρίσεως καὶ τὸ θυμίαμα τῆς συνθέσεως [16]καὶ τὴν λυχνίαν
τὴν καθαρὰν καὶ τοὺς λύχνους αὐτῆς, λύχνους τῆς καύσεως, καὶ
17 τὸ ἔλαιον τοῦ φωτὸς [17]καὶ τὴν τράπεζαν τῆς προθέσεως καὶ πάν-
18 τα τὰ αὐτῆς σκεύη καὶ τοὺς ἄρτους τοὺς προκειμένους [18]καὶ τὰς
στολὰς τοῦ ἁγίου, αἵ εἰσιν Ααρων, καὶ τὰς στολὰς τῶν υἱῶν αὐ-
19 τοῦ εἰς τὴν ἱερατείαν [19]καὶ τὰ ἱστία τῆς αὐλῆς καὶ τοὺς στύλους
καὶ τὸ καταπέτασμα τῆς θύρας τῆς σκηνῆς καὶ τῆς πύλης τῆς
αὐλῆς καὶ πάντα τὰ σκεύη τῆς σκηνῆς καὶ πάντα τὰ ἐργαλεῖα
20 αὐτῆς [20]καὶ τὰς διφθέρας δέρματα κριῶν ἠρυθροδανωμένα καὶ τὰ
καλύμματα δέρματα ὑακίνθινα καὶ τῶν λοιπῶν τὰ ἐπικαλύμματα
21 [21]καὶ τοὺς πασσάλους καὶ πάντα τὰ ἐργαλεῖα τὰ εἰς τὰ ἔργα τῆς
22 σκηνῆς τοῦ μαρτυρίου· [22]ὅσα συνέταξεν κύριος τῷ Μωυσῇ, οὕ-
23 τως ἐποίησαν οἱ υἱοὶ Ισραηλ πᾶσαν τὴν ἀποσκευήν. [23]καὶ εἶδεν
Μωυσῆς πάντα τὰ ἔργα, καὶ ἦσαν πεποιηκότες αὐτὰ ὃν τρόπον
συνέταξεν κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν αὐτά· καὶ εὐλόγη-
σεν αὐτοὺς Μωυσῆς.
40 [1]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [2]Ἐν ἡμέρᾳ μιᾷ τοῦ
μηνὸς τοῦ πρώτου νουμηνίᾳ στήσεις τὴν σκηνὴν τοῦ μαρτυρίου
3 [3]καὶ θήσεις τὴν κιβωτὸν τοῦ μαρτυρίου καὶ σκεπάσεις τὴν κιβωτὸν
4 τῷ καταπετάσματι [4]καὶ εἰσοίσεις τὴν τράπεζαν καὶ προθήσεις τὴν
πρόθεσιν αὐτῆς καὶ εἰσοίσεις τὴν λυχνίαν καὶ ἐπιθήσεις τοὺς λύ-
5 χνους αὐτῆς [5]καὶ θήσεις τὸ θυσιαστήριον τὸ χρυσοῦν εἰς τὸ θυ-
μιᾶν ἐναντίον τῆς κιβωτοῦ καὶ ἐπιθήσεις κάλυμμα καταπετάσματος
6 ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου [6]καὶ τὸ θυσιαστήριον
τῶν καρπωμάτων θήσεις παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρ-
8 τυρίου [8]καὶ περιθήσεις τὴν σκηνὴν καὶ πάντα τὰ αὐτῆς ἁγιάσεις
9 κύκλῳ. [9]καὶ λήμψῃ τὸ ἔλαιον τοῦ χρίσματος καὶ χρίσεις τὴν
σκηνὴν καὶ πάντα τὰ ἐν αὐτῇ καὶ ἁγιάσεις αὐτὴν καὶ πάντα τὰ
10 σκεύη αὐτῆς, καὶ ἔσται ἁγία. [10]καὶ χρίσεις τὸ θυσιαστήριον τῶν

13 (𝔐 39 33) τας βασεις — fin.] τους μοχλους και τους στυλους και τας βασεις αυτης A || 14 = 𝔐 35 || 15 = 𝔐 38 || 16 = 𝔐 37 || 17 (𝔐 36) τα αυτης] tr. $A^r$ | τους προσκειμ.] της προθεσεως $A^r$ || 18 = 𝔐 41 || 19 (𝔐 40) στυλους] + και τας βασεις αυτης A | παντα ult. > A || 20 (𝔐 34) καλυμματα] κατακαλ. A || 21 (cf. 𝔐 40) τα ult. > A† || 22 (𝔐 42) οσα] ο B† | τω > B† | παρασκευην A || 23 = 𝔐 43

40 2 μια > A || 3 init. — μαρτυριου > B, sed post κιβωτον ult. add. B† του μαρτυριου || 5 ενωπιον της κιβ. του μαρτυριου και θησεις το καλ. του καταπετασματος A || 6 την θυραν A || 8 σκηνην — αγιασεις] αυλην A || 9 του χρισμ.] της χρισεως A | σκευη > B*†